# Γενικές Ασκήσεις Στις Δευτερεύουσες Προτάσεις

### Να αναγνωρίσετε τις παρακάτω δευτερεύουσες προτάσεις.
### [είδος, εισαγωγή, εκφορά, συντακτική θέση (αν υπάρχει)]

1) Ἐπιστάμεθα ὅτι πολλοὶ πολῖται ἐνταῦθα οἰκοῦσι.
2) Ἠγγέλθη τοῖς Συρακουσίοις ὅτι οἱ βασιλεῖς φεύγοιεν.
3) Σαφὲς πάσιν τοῦτο ἤδη ἐδόκει εἶναι, ὅτι ὁ στόλος εἴη ἐπὶ βασιλέα.
4) Δῆλον ἐστι ὅτι οἱ πολέμιοι ἐπιβουλεύονται.
5) Λέγει ὡς οὐδὲν ἐστὶ ἀδικώτερον φήμης.
6) Περικλῆς εἶπε τοῖς Ἀθηναίοις ὅτι Ἀρχίδαμος ξένος εἴη αὐτῷ.
7) Ἀπεκρίναντο τοῦτο, ὅτι ἀκουσόμενοι πεμφθείησαν.
8) Λέγεται ὡς Ἀργεῖοι καὶ Ἀρκάδες μάχη ἡττῶνται ὑπὸ τῶν Λακεδαιμονίων.
9) Κίνδυνος ἔστι μὴ λάβωσι τινὰς τῶν Ἀθηναίων αἰχμαλώτους.
10) Ὁ Ξενοφῶν εἶπεν αὐτῷ ὅτι ἀπαλλαγήσοιτο ἤδη ἀπὸ τῆς στρατιᾶς καὶ βούλοιτο ἀποπλεῖν.
11) Ἀγγέλλεται τοῖς Ἀθηναίοις ὅτι Παυσανίας τέθνηκε.
12) Ἐκεῖνο λέγουσι τινές, ὦ Κῦρε, ὅτι πολλὰ ὑπισχνεῖ.
13) Πυνθάνομαι ὅτι τὸ ὅρος οὐκ ἄβατον ἐστὶν.
14) Προσεκύνησαν τὸν Ὀρόνταν καίπερ εἰδότες ὅτι ἐπὶ τὸν θάνατον ἄγοιτο.
15) Ἐν ταῖς μάχαις δῆλον ἐστὶ πολλάκις ὅτι τὸ ἀποθανεῖν ῥᾷον.
16) Δέδοικαμεν μή, ὥσπερ οἱ Λωτοφάγοι, ἐπιλαθώμεθα τῆς ὁδοῦ.
17) Δέος ἐγένετο τοῖς Ἀθηναίοις μὴ ξὺν ὅπλοις ἔλθοιεν οἱ Λακεδαιμόνιοι.
18) Βούλομαι εἰπεῖν ἃ φοβοῦμαι μὴ γένηται.
19) Καὶ τοῦτο φοβεῖσθε, μὴ ἔρημοι συμμάχων γενόμενοι τι πάθωμεν.
20) Ἐπεφόβηντο μὴ καταληφθεῖεν ὑπὸ τῶν πολεμίων.
21) Ὀκνῶ μὴ ἡμῖν μάταιος ἡ στρατεία γένηται.
22) Φόβος ἐστὶ τοῖς γονεῦσι μὴ τῶν παίδων ἀποστερηθῶσιν.
23) Ὁρᾶτε μὴ πάθωμεν ἅπερ πολλὰ λέγουσι ἐν θαλάττῃ πεπονθέναι.
24) Ἔδεισαν μὴ καταλυθείη ὁ δῆμος.
25) Αὐτὸ τοῦτο φοβοῦμαι, μὴ οὐ δυνηθῶ δηλῶσαι τῶν πραγμάτων ὑμῖν.
26) Φοβοῦνται μὴ τὰ ἔσχατα ἔπαθον.
27) Ἐφοβήθην μὴ ματαΐα γένοιτο αὔτη ἡ κατασκευή.
28) Ὑποπτεύομεν καὶ τοῦτο, μὴ οἱ πολέμιοι ἐγγὺς εἰσίν.
29) Ὅρα ὅπως μὴ ὁ σοφιστὴς ἐξαπατήσῃ ἡμᾶς.
30) Οἱ θεώμενοι ἐφοβοῦντο μὴ τι ὁ Ἀριαῖος πάθοι.
31) Ἐγὼ ἠρώτων Πείσωνα, εἰ βούλοιτο σῶσαι μὲ χρήματα λαβών.

32) Οὐκ οἶδα, εἰ τὶς ἄλλος οὕτως ὀλίγα ἐργάζεται.

33) Ἡ μήτηρ ἠρώτα τὸν Κῦρον, πότερον βούλοιτο μένειν ἢ ἀπιέναι.

34) Ὁρῶ σὲ ἀποροῦντα, τί χρὴ ποιεῖν.

35) Οἱ νόμοι ἐπιμέλονται, ὅπως ἀγαθοὶ ἔσονται οἱ πολῖται.

36) Οὐ γιγνώσκω ὅτου ἠτύχησα.

37) Ἐρωτᾶ πότερον βούλεται εἰρήνην ἢ πόλεμον ἔχειν.

38) Κβῦρος ἐπυνθάνετο εἰ οἰκοῖτο ἡ χώρα.

39) Οὕτω ἰσχυρὸν ἡ ἀλήθεια, ὥστε πάντων ἐπικρατεῖ.

40)Πλοῖα ὑμῖν πάρεστι, ὥστε, ὅποι ἂν βούλησθε, ἐξαίφνης ἂν ἐπιπέσοιτε.

41) Εὐθὺς μὲν ἡ Ἀριάδνη ἀκούσασα τοῦτο ἐποίησε, ὡς πᾶς ἂν ἔγνω ὅτι ἄσμενη ἤκουσε.

42) Ἔχω τριήρεις, ὥστε ἑλεῖν τὸ ἐκείνων πλοῖον.

43) Χρὴ εἰς τοιοῦτον ἀγῶνα μηδέποτε καταστῆναι, ὥστε πάντα λαβεῖν ἢ πάντα ἀποβαλεῖν.

44)Ὁμολογία γίγνεται τοῖς Συρακοσίοις, ὥστε ὅπλα τὲ παραδοῦναι καὶ μὴ ἀποθανεῖν μηδένα.

45)Οἱ τριάκοντα ᾑρέθησαν ἐφ' ᾧ τὲ συγγρᾶψαι νόμους καθ' οὓς πολιτεύσοιντο.

46) Ἔπεισαν τοὺς Ἀθηναίους, ὥστε ἐξαγαγεῖν Μεσσηνίους ἐκ τῆς Πύλου.

47) Συνέβαινεν ἀεὶ τῇ πόλει ἡμῶν, ὥστε δυστυχεῖν καὶ μηδέποτε δύνασθαι κρατῆσαι.

48) Καὶ ἡ δύναμις τῆς πόλεως οὕτω παρελύθη, ὥστε μηδὲν διαφέρειν τῆς ἐλαχίστης πόλεως.

49)Χρὴ πάντα ποιεῖν, ὥστε ἀρετῆς μετασχεῖν.

50)Ἀριαῖος ἐτύγχανε ἐφ' ἁμάξης πορευόμενος, διότι ἐτέτρωτο.

51) Ἐπεθύμει ἰδεῖν αὐτόν, ὅτι ἤκουεν αὐτὸν καλὸν κἀγαθὸν εἶναι.

52) Οἱ Ἀθηναῖοι τὸν Περικλέα ἐκάκιζον, ὅτι οὐκ ἐπεξάγοι αὐτοὺς ἐπὶ τῶν πολεμίων.

53) Ἤδη ᾐσθόμην τινῶν ἀχθομένων μοί, ὅτι, νεώτερος ὤν, ἐπεχείρησα λέγειν ἐν τῷ δήμῳ.

54) Ἤχθοντο, ὅτι οὐκ εἶχον ἀργύριον.

55) Τοὺς στρατηγοὺς οἱ Ἀθηναῖοι ἐζημίωσαν, ὡς δώροις πεισθέντες ἀποχωρήσειαν.

56) Κόλαζε τὰ πάθη, ἵνα μὴ ὑπὸ τούτων κολασθῇς.

57) Συνέλεξα ὑμᾶς, ὅπως βουλευσαίμεθα, ὅ,τι χρὴ ποιεῖν.

58) Ἀγησίλαος κατέλιπε φρουρὰν ἐν τῇ Ἀσίᾳ, ἵνα δύναιτο διασώζειν τάς πόλεις.

59) Γύμναζε σεαυτὸν πόνοις ἑκουσίοις, ὅπως ἂν δύνῃ καὶ τοὺς ἀκουσίους ὑπομένειν.

60) Κελεύω ὑμᾶς ἐκβαλεῖν τοῦτον τῆς χώρας, ὥστε μηκέτι δέῃ τοῦτον φυλάττεσθαι.

61) Ἐδόκει αὐτοῖς ἀπιέναι, μὴ τις ἐπίθεσις γένηται.

62) Κελεύομεν ὑμᾶς προσελθεῖν, ἵνα τὰ παρὰ τοῦ βασιλέως ἀκούσητε.

63) Ταῦτα ἐποίει ὁ Κῦρος, ἵνα ὁ κῆρυξ αὐτὰ ἀγγείλει.

64) Μὴ φθόνει τοῖς εὐτυχοῦσι, μὴ δοκῇς κακὸς εἶναι.

65) Οἱ Ἀθηναῖοι δῶρα ἔπεμπον, ἵνα εὖνοι εἶεν.

66) Κῦρος τάς ναῦς ἔπεμπε, ὅπως ὁπλίτας ἀποβιβάσειε.





67) Ἐκεῖνοι οἴχονται, ἵνα μὴ δοῖεν δίκην.

68) Διηρώτων αὐτούς, ἵνα μάθοιμι.

69) Τὰ πλοῖα κατέκαυσαν, ἵνα μὴ Κῦρος διαβῇ.

70) Εὐλαβοῦ τάς διαβολάς, κἄν ψευδεῖς ὦσιν.

71) Ἀνάγκη ἐστι, εἰ καὶ μὴ δεινὸς πέφυκα, βοηθεὶν τῷ πατρὶ καὶ τὴ πατρίδι.

72) Καὶ εἰ ἐβούλετο τὰ ἄριστα ποιεῖν, οὐ ταῦτα ἐποίει ἄν.

73) Τὰ δὲ ἄλλα, ἐπειδάν ἐκεῖσε ἔλθωμεν, βουλευσόμεθα.

74) Ὁσάκις κεχορήγηκε, πᾶσι τοῖς χοροῖς νενίκηκε.

75) Οὐ πρότερον ἐπαύσαντο ἐν ὀργῇ ἔχοντες αὐτόν, πρὶν ἐζημίωσαν χρήμασιν.

76) Βασιλεὺς οὐκ ἐφάνη, πρὶν ἂν καταλυθῇ τὸ στράτευμα.

77) Ἐν ᾧ ζῶμεν, οὕτως ἐγγυτάτω ἐσόμεθα τοῦ εἰδέναι.

78) Σπονδᾶς ἐποιήσαντο, ἕως ἀπαγγελθείη τὰ λεχθέντα εἰς Λακεδαίμονα.

79) Οὐ πρότερον ἐπαύσατο, πρὶν ἐξεῦρεν αὐτούς.

80) Ἐπειδὴ εἶδον αὐτόν, συλλαβόντες ἄγουσιν αὐτὸν ἄντικρυς, ὡς ἀποκτενοῦντες.

81) Ὅτ' εὐτυχεῖς, μὴ μέγα φρόνει.

82) Ὅταν ἐγὼ τελευτήσω, Κύρου γενήσεται ἡ Περσῶν βασιλεία.

83) Μὴ ἀπέλθητε, πρὶν ἂν ἀκούσητε.

84) Μαινόμεθα πάντες ὁπόταν ὀργιζώμεθα.

85) Ἐπειδᾶν μάθωσιν κιθαρίζειν οἱ παῖδες, ἄλλων ἀγαθῶν ποιητῶν ποιήματα διδάσκονται.

86) Ἐνταῦθα μενοῦμεν, ἕως ἡ νύξ παρέλθῃ.

87) Εἴρηχ' ἃ νομίζω συμφέρειν ὑμῖν.

88) Ἦλθον Ἀριαῖος καὶ Ἀρτάβαζος, οἳ ἦσαν τῷ Κύρῳ πιστότατοι.

89) Ἦν τις ἐν τῇ Κύρου στρατείᾳ, ὃς οὔτε στρατηγός, οὔτε στρατιώτης ὤν, συνηκολούθει.

90) Φησὶ δὲ καὶ τοὺς αἰχμαλώτους ἡμῶν, ὅσοι ἐν τῷ πολέμῳ ἑάλωσαν, ἀποδεδωκέναι.

91) Ἀνεπαύοντο, ὅπου ἐτύγχανε ἕκαστος.

92) Παῖδες δὲ μοὶ οὔπω εἰσί, οἳ μὲ θεραπεύσουσι.

93) Τὶς ὑμῶν οὕτω εὐήθης ἐστι, ὅστις οὐχ ὁρᾷ τὸν πόλεμον ἥκοντα;

94) Οὐδεμία παραίνενσις οὕτω καλή ἐστι, ἥτις αὐθημερὸν τοὺς μὴ ὄντας ἀγαθοὺς ποιήσει.

95) Οἱ παῖδες ἡμῶν, ὅσοι ἐνθάδε ἦσαν, ὑπὸ τούτων ὑβρίζοντο.

96) Οὕς ἂν ὁρῶ τὰ καλὰ καὶ τἀγαθὰ ἐπιτηδεύοντας, τούτους τιμήσω.

97) Τῶν βαρβάρων οὕς βουληθείης, θᾶττον ἂν καταστρέψαιο.

98) Λακεδαιμόνιοι, οὕς ἐλάμβανον, διέφθειρον.

99) Ἔστι δίκης ὀφθαλμός, ὃς τὰ πάνθ' ὁρᾷ.

100) Ἀμελῶ, ὧν μὲ δεῖ πράττειν.